*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

**********************************************************

**Δρος Χαραλάμπους Μ. Μπούσια**

Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΟΝ ΕΥΓΝΩΜΟΝΑ
# ΑΓΙΟΝ ΛΗΣΤΗΝ ΤΟΥ ΓΟΛΓΟΘΑ

*

*

* * * * *

*

*

**Ἀθῆναι 2013**

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΕΙΣ ΤΟΝ ΕΥΓΝΩΜΟΝΑ

# ΑΓΙΟΝ ΛῌΣΤΗΝ ΤΟΥ ΓΟΛΓΟΘΑ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΒ΄ Ὀκτωβρίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

*********************************************************************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον , μεθ’ ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄ . Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὁ εἰσελθὼν τὴν δωδεκάτην τὴν ὥραν
εἰς τὴν χαρὰν τῶν οὐρανῶν καὶ πολίτης
αὐτῶν, Ληστά, γενόμενος ὁ πρῶτος, ἡμᾶς
πάντας καταξίωσον χαρμονῆς αἰωνίου
σὲ τοὺς μακαρίζοντας ὡς κλειδοῦχον τοῦ πόλου,
αὐτοῦ εὐκλείας μέτοχον σεπτὸν
καὶ μετανοίας θειότατον γνώμονα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Μνήσθητι, εὐγνῶμον Ληστά, σῶν ὑμνητῶν. Χ."**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Μακάρων ἀξίωσον σὺν χοροῖς
ἀπαύστως συνεῖναι
τοὺς τιμῶντάς σε εὐλαβῶς,

εὐγνῶμον Ληστά, ὡς Παραδείσου
σεπτὸν κλειδοῦχον καὶ θεῖον οἰκήτορα.

Ναοὺς σωφροσύνης καὶ ἀρετῆς
ἀνάδειξον πάντας
δαπανῶντας, οἴμοι, κακῶς

τὸν βίον εὐχαῖς σου πρὸς τὸν Λόγον,
Ληστὰ εὐγνῶμον, Θεοῦ τοῦ Παντάνακτος.

Ἠνέωξας θύραν ταχύ, Ληστά,
κλειδὶ μετανοίας
κεκλεισμένην διὰ βροτῶν
χορείας τοῦ πόλου, καὶ πρεσβεύειν
Χριστῷ ὑπὲρ εὐσεβῶν χάριν εἴληφας.

**Θεοτοκίον.**

Στολὴν τοῦ οἰκέτου σου, ἀγαθή,
τὴν ῥερυπωμένην
ἀνομήμασι βδελυροῖς
τοῖς ῥεύμασι πλῦνον πρεσβειῶν σου
τῶν ῥυπτικῶν πρὸς Υἱόν σου τὸν πάνσεπτον.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Θραῦσον βέλη ἐχθίστου
τὰ καθ᾽ ἡμῶν, Ἅγιε,
πάντοτε κινούμενα, μάκαρ,
θείᾳ ἀσπίδι σου
εὐχῶν, εὐγνῶμον Ληστά,
πρὸς τὸν Θεόν, ὁ πατήσας
λόγῳ μετανοίας σου
πλάνου τὰ ἔνεδρα.

Ἠνεώχθη ἡ πύλη
τοῦ οὐρανοῦ, Δίκαιε,
τῷ κλειδὶ τῆς σῆς μετανοίας
καὶ τοῦ ὀνόματος
ὁμολογίας Χριστοῦ,
Λόγου Θεοῦ ὡς Ὑψίστου,
ὁ Αὐτὸν ἱκέταις σου
καθιλεούμενος.

Τοὺς ἱκέτας σου ῥῦσαι,
τοῦ Γολγοθᾶ Ἅγιε,
τοῦ πυρὸς κολάσεως, πάντας
σὲ μεγαλύνοντας,
Ληστὰ εὐγνῶμον, λαμπρῶς
ὡς Παραδείσου κλειδοῦχον
καὶ αὐτοῦ οἰκήτορα
πρῶτον, πανεύφημε.

**Θεοτοκίον.**

Ἰσχυροὺς ἐν ταῖς μάχαις
κατὰ παθῶν, Δέσποινα,
δεῖξον σοὺς σεμνοὺς ὑμνηπόλους,
Θεογεννήτρια,
τοὺς ὑπ’ ἐχθροῦ μιαροῦ
πολεμουμένους, Παρθένε,
ἀλγεινῶς ἑκάστοτε,
τοῦ παναλάστορος.

Διάσωσον
ἐξ ὀλεθρίου γεέννης τοὺς σὲ τιμῶντας,
Παραδείσου, Ληστὰ σεπτέ, ὡς πρῶτον οἰκήτορα,
αὐτὸν μετανοίᾳ σου ὁ ἀνοίξας.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Εὐγνῶμον Ληστά, ὁ «Μνήσθητί μου, Κύριε»,
βοήσας τρανῶς ὀλίγον πρὸ τοῦ τέλους σου
ἐν σταυρῷ κρεμάμενος,
σαῖς πρεσβείαις τὴν πύλην μοι ἄνοιξον
τοῦ Παραδείσου, πρῶτος οἰκιστὴς
οὗ πέλεις, πιστῶς τῷ ἀνυμνοῦντί σε.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Εὐσυμπάθητον Κύριον
μὴ ἐλλείπῃς πᾶσι καθιλεούμενος
ὡς κλειδοῦχον τοῖς τιμῶσί σε
οὐρανῶν, Ληστά, λαμπρῶν σκηνώσεων.

Ὑπερεύχου προσφύγων σου,
μετανοίας στήλη, Ληστὰ θειότατε,
ὁ ἐκ δεξιῶν τοῦ Κτίσαντος
κρεμασθεὶς Θεοῦ τοῦ πανοικτίρμονος.

Γηρῶν τοὺς ἱκέτας σου
δεῖξον ὑπερόπτας τοὺς ἀνυμνοῦντάς σε
ὡς Ληστὴν καταληστεύσαντα

διὰ μετανοίας τὸν Παράδεισον.

**Θεοτοκίον.**

Νεκταρόβρυτον, Δέσποινα,
φρέαρ προστασίας τῶν εὐφημούντων σε,
δὸς ἡμῖν πιεῖν σῆς χάριτος
νάματα πικρίας τὰ ἡδύνοντα.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ὡς φανόν, Ληστά,
ἐπιγνώσεως ὑμνοῦντές σε
ἐφαμάρτου πολιτείας σὰς εὐχὰς
πρὸς Χριστόν, συσταυρωθέντα σοι, αἰτούμεθα.

Μέμνησο ἡμῶν
ἀνυμνούντων σῆν μετάνοιαν
καὶ τρανὴν ὁμολογίαν τοῦ Χρισοῦ
ὡς Υἱοῦ, Ληστὰ εὐγνῶμον, τοῦ Παντάνακτος.

Ὄμβρισον ἡμῖν
ὑετόν, Ληστὰ χριστόφιλε,
μετανοίας ἀκραιφνοῦς καὶ προκοπῆς
ἐν Χριστῷ, τῷ πόλου ἔνοικόν σε δείξαντι.

**Θεοτοκίον.**

Νέκρωσον σαρκὸς
τὰ σκιρτήματα τῶν δούλων σου
ἡ κυήσασα τὸ Φῶς καὶ τὴν Ζωήν,
Ἰησοῦν Χριστόν, νεκρώσαντα τὸν θάνατον.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ληστεύσαντα θαυμαστῶς Παράδεισον
μετανοίας ἐργαλείοις καὶ λόγῳ
ὁμολογίας Θεοῦ τοῦ Ὑψίστου
ἐν Γολγοθᾶ ὁλοθύμως τιμήσωμεν
Ληστὴν τὸν δίκαιον, αὐτοῦ
τὰς εὐχὰς πρὸς Θεὸν ἐκδεχόμενοι.

Ἡ χάρις σου ἁγιάζει ἅπαντας
τοὺς πιστεύοντας, Ληστὰ σταυροφόρε,
Ἐσταυρωμένον εἰς Λόγον Ὑψίστου

καὶ Ἀναστάντα ἐκ τάφου τριήμερον,
Ληστὰ εὐγνῶμον, ὁ κλειδὶ
μετανοίας ἀνοίξας Παράδεισον.

Σταυρούμενον ὡς κατεῖδες Κύριον
Γολγοθᾶ ἐπὶ τοῦ ὄρους ἀδίκως,
τὸν Πλαστουργὸν ὑφηλίου, εὐγνῶμον
Ληστά, Υἱὸν τοῦ Θεοῦ ὡμολόγησας,
τὸν παρεχόμενον ἡμῖν
δι' εὐχῶν σου τὸ ἄμετρον ἔλεος.

**Θεοτοκίον.**

Τὴν δέησιν οἰκετῶν σου πρόσδεξαι
ὡς θυμίαμα εὐῶδες, Παρθένε,
καὶ δὸς σὴν χάριν ἀφθόνως τοῖς πίστει
σὲ μεγαλύνουσιν ὕμνοις ἑκάστοτε
ὡς θείαν σκέπην καὶ φρουρὸν
ἀλγεινῶς τρυχομένοις καὶ κάμνουσι.

Διάσωσον
ἐξ ὀλεθρίου γεέννης τοὺς σὲ τιμῶντας,
Παραδείσου, Ληστὰ σεπτέ, ὡς πρῶτον οἰκήτορα,
αὐτὸν μετανοίᾳ σου ὁ ἀνοίξας.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Ἐκ δεξιῶν τοῦ Χριστοῦ εὐφημήσωμεν
προσηλωθέντα Ληστὴν τὸν εὐγνώμονα
καὶ μετανοίας κλειδὶ διανοίξαντα
τοῦ Παραδείσου τὰς πύλας ὡς ἔνθερμον
ἡμῶν μεσίτην καὶ πρέσβυν πρὸς Ὕψιστον.

**Προκείμενον. Ἦχος δ΄.**
Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.
**Στίχος.** Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν.

**Εὐαγγέλιον· κατὰ Λουκᾶν (Κεφ. κγ΄ 32 -49 ).**
Τῷ καιρῷ ἐκείνῳ ἤγοντο σὺν τῷ Ἰησοῦ καὶ ἕτεροι δύο κακοῦργοι...
**Ζήτει τῷ Ὀγδόῳ Εὐαγγελίῳ τῆς Μεγάλης Πέμπτης.**

**Δόξα.**

Γολγοθᾶ Ἁγίου
Ληστοῦ πρεσβείαις, Σῶτερ,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Ἰδιόμελον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Παραδείσου ἔνοικε
πρῶτε, Χριστοῦ κατὰ ῥῆμα,
τοῦ συσταυρωθέντος σοι
Λόγου πανοικτίρμονος
τοῦ Παντάνακτος,
Ὃν Θεὸν τέλειον
Γολγοθᾶ ἐν ὄρει
τῷ σεπτῷ καθωμολόγησας,
ἡμῶν δεήσεων
τῶν θερμῶν ταχέως ἐπάκουσον
καὶ ῥῦσαι τῆς κολάσεως
τοῦ πυρὸς τοὺς σὲ μακαρίζοντας
καὶ πιστῶς βοῶντας·
Ληστὰ εὐγνῶμον, λύχνε τηλαυγὲς
τῆς μετανοίας, προσφύγων σου
λῦσον ἄχθους ζόφωσιν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἀνωτέρους συντήρει
τῶν παθῶν σοὺς ἱκέτας,
Ληστὰ μακάριε,
ἐκ τοῦ σταυροῦ σου ὕψους
οὐράνιον εἰς ὕψος
ὁ ἀρθεὶς διὰ κλίμακος
τοῦ «Μνήσθητι μου, Χριστέ,
Θεοῦ Ὑψίστου Λόγε».

Σταυροφόρε κακοῦργε,

ὁ τυχὼν τῆς εὐκλείας
τῆς ὑπὲρ ἔννοιαν
διὰ σῆς μετανοίας
ἐν τῇ ἐσχάτῃ ὥρᾳ
ἐπὶ γῆς πολιτείας σου,
ἀξιωσόν με τυχεῖς
αἰωνιζούσης δόξης.

Ὡς Πορφύριον θεῖον
ἐθεράπευσας ξένως.
Ληστὰ θεόσωστε,
θεράπευσον ψυχῆς μου
ταχέως ἀλγηδόνας
τῆς ἀθλίας καὶ σώματος
τοῦ ἐν ᾠδαῖς μελιχραῖς
σὲ ἀνυμνολογοῦντος.

**Θεοτοκίον.**

Νεολαίαν ὁδήγει
πρὸς γαλήνιον ὅρμον
τὴν θαλαττεύουσαν
ἐν τῷ τρικυμιώδει
πελάγει βίου, Μῆτερ,
τοῦ παρόντος βαστάζουσα
αὐτῆς ψυχῶν σταθηρῶς
τοὺς οἴακας, Παρθένε.

**ᾨδὴ η΄. Τὸν Βασιλέα.**

Ὑψόθεν ῥύου
ἡμᾶς δεινῶν κατωδύνων
σὲ ὑμνοῦντας, Ληστὰ σταυροφόρε,
ὡς τοῦ Παραδείσου
οἰκήτορα τὸν πρῶτον.

Μὴ διαλείπῃς,
Ληστὰ εὐγνῶμον, πρεσβεύων
τῷ Χριστῷ δοῦναι σθένος καὶ ῥῶσιν
σὲ τοῖς ἀνυμνοῦσιν
ὡς μετανοίας στῦλον.

Ναοὺς ἀνδρείας,
Ληστά, ψυχῶν καὶ σωμάτων
δεῖξον πάντας τοὺς σὲ μελῳδοῦντας
τῆς ζωῆς τοῦ ξύλου

νῦν ἀκλινῶς τρυφῶντα.

**Θεοτοκίον.**

Ἡ παραστάτις
Χριστιανῶν ἐν κινδύνοις,
Θεοκῦμον, κατεύθυνε πάντας
μεγαλύνοντάς σε
πρὸς οὐρανῶν λειμῶνας.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Τοῦ παλαμναίου πάγας
εὐθαρσῶς πατῆσαι
τοὺς σοὺς ἱκέτας, Ληστά, καταξίωσον
ὡς Παραδείσου σε πρῶτον τιμῶντας ἔνοικον.

Ὡς τοῦ βλασφήμου στόμα
λόγοις σου σφραγίσας
συσταυρωτοῦ σου, Ληστὰ διακαιότατε,
σφράγισον χείλη βλασφήμων σεπτῇ παλάμῃ σου.

Νῦν ὕμνοις μελιῤῥύτοις
μεγαλύνοντές σε,
Ληστὰ εὐγνῶμον, ὡς πρῶτον οἰκήτορα
τοῦ Παραδείσου εὐχάς σου ἀπεκδεχόμεθα.

**Θεοτοκίον.**

Χαρίτωσον σοὺς δούλους
μεγαλύνοντάς σε
ὡς ἀρετῶν ἱερὸν καταγώγιον,
Θεογεννῆτορ Παρθένε, πιστῶν ἀγλάϊσμα.

**Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυνάρια·**

Μνήσθητί μου, Σῶτερ Παμβασιλεῦ,
ἐν τῇ Βασιλείᾳ
τῇ σεπτῇ Σου, ὡς τοῦ Ληστοῦ
τοῦ ἐκ δεξιῶν Σου
ἐμνήσθης σταυρωθέντος,
ὃν πρῶτον Παραδείσου
ἔνοικον ἔδειξας.

Τὸν ἐσταυρωμένον ἐκ δεξιῶν
τοῦ Θεοῦ τοῦ Λόγου
ἐν τῷ ὄρει τοῦ Γολγοθᾶ

καὶ ἀξιωθέντα
διὰ τῆς μετανοίας,
Ληστήν, χαρᾶς τοῦ πόλου
ὕμνοις τιμήσωμεν.

Τὸν ἀδίκως πάσχοντα ἐν Σταυρῷ,
Ἰησοῦν, ὡς Λόγον
διεκήρυξας τοῦ Θεοῦ,
ὁ παθὼν δικαίως
δι’ ἀμπλακήματά σου,
Ληστά, σεπτὲ κλειδοῦχε
πόλου ἐπάλξεων.

Χαίροις, μετανοίας ὁ φρυκτωρός,
Παραδείσου πρῶτε
καὶ θειότατε οἰκιστά,
χαίροις, δωδεκάτην
τὴν ὥραν ὁ κερδήσας,
Ληστὰ εὐγνῶμον, δόξαν
τὴν ὑπὲρ ἔννοιαν.

Δεῖξον μετανοίας μοι τὴν ὁδὸν
καὶ ὁμολογίας
τοῦ ὀνόματος Ἰησοῦ
ἔμπροσθεν ἀπίστων,
ὁ καθομολογήσας
Αὐτόν, Ληστά, πρὸ τέλους
τοῦ ἐπιγείου σου.

Ἄνοιξόν μοι πύλας τοῦ οὐρανοῦ,
ὁ αὐτῶν βαστάζων
κλείδας, μάκαρ, καὶ σὺν Χριστῷ
ἀπολαύων δόξης,
Ληστὰ εὐγνῶμον, θείας
διὰ τῆς μετανοίας
τῆς θεαρέστου σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὸν Ληστὴν τὸν εὐγνώμονα εὐφημήσωμεν
ἐκ δεξιῶν σταυρωθέντα
τοῦ Ζωοδότου Χριστοῦ
καὶ φωνήσαντα τὸ «Μνήσθητί μου, Κύριε,
εἰς Βασιλείαν οὐρανῶν
ὅταν ἔλθῃς», εὐλαβῶς
κραυγάζοντες· Μετανοίας,
τοῦ Παραδείσου οἰκῆτορ,
ἡμῖν εὐχαῖς σου πύλας ἄνοιξον.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Δεῦτε Παραδείσου ποθεινοῦ
τὸν κλειδοῦχον μέλψωμεν ὕμνοις
ὡς μετανοίας πυρσὸν
καὶ φανὸν λαμπρότατον
Χριστοῦ τῆς πίστεως,
Ὃν ἀδίκως παράνομος
ἐσταύρωσε δῆμος,
ὁλοθύμως κραυγάζοντες·
Ληστὰ μακάριε,
ὁ ἀξιωθεὶς ἀπολαῦσαι
πόλου τῆς χαρᾶς, σοὺς ἱκέτας
κοινωνοὺς αὐτῆς ἡμᾶς ἀνάδειξον.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.**

**Μνήσθητί μου, δίκαιε,* ὦ *Ληστά*, σὲ μέλποντος* πίστει ὡς εὐγνώμονα.**

**Ἀριθμ. Καταλ. Π 603 / 25-12-13**

**Δίστιχον.**

**Μνήσθητι Γερβασίου, Ληστὰ εὐγνῶμον,**
**καὶ Χαραλάμπους, τῶν πόθῳ τιμώντων σε.**

**Τ Ε Λ Ο Σ**

**ΚΑ Ι   Δ Ο Ξ Α**

**Τ ΩΙ   Μ Ο Ν ΩΙ   Α Λ Η Θ Ι Ν ΩΙ**

**Θ Ε ΩΙ   Η Μ Ω Ν**